www.tezaurliturgic.ro

+

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΗΤΑ ΤΟΥ ΕΚ ΘΗΒΩΝ

ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤῼ ΟΣΙΩΝ
ΔΑΝΙΗΛ, ΘΕΟΔΩΡΟΥ & ΓΡΗΓΟΡΙΟΥ

(ὧν ἡ μνήμη τῇ κγ´ Ἰουνίου)

* * *

Συντεθεῖσα ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
αἰτήσει καὶ προνοίᾳ τοῦ Ὀρθοδόξου Συλλόγου Θηβῶν
"Χρυσόστομος Σταμούλης"

* ᾳÑÅε´ *

www.tezaurliturgic.ro

## Τῌ ΚΓ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ
## ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΝΙΚΗΤΑ ΤΟΥ ΕΚ ΘΗΒΩΝ

* * *

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν ἑπταπύλων Θηβῶν σε, ἔγνωμεν γέννημα, τῆς δὲ Σιὼν τῆς ἄνω, θεοφόρον πολίτην, ἐν ᾗ πάτερ Νικήτα Χριστὸς ὁ Θεός, ὡς ἀστέρα σε ἔθετο, φωτοχυσίας μετέχειν τῆς ἐξ Αὐτοῦ, ὡς ἐνταῦθα προμετέσχηκας.

Υἱοθεσίας τῆς θείας, διὰ βαπτίσματος, ἐγένου κληρονόμος, ὅτε πάτερ Νικήτα, τὸ Πνεῦμα αἰσθητῶς σε προσημειοῦν, φανεροῖ τὰ ἐσόμενα, δι' ὧν ἀρχαίοις πατράσι καὶ ἀσκηταῖς, ἴσος γέγονας τρισόλβιε.

Τὴν ἀρετὴν ἐνεδύσω, Νικήτα πάντιμε, ἀπὸ παιδὸς εἰσέτι, πανοπλίαν τετράδος, ἀνδρείαν σὺν φρονήσει σώφρονα νοῦν, ἅμα δικαιοσύνῃ τε, δι' ἧς ἐχθρὸν τὸν ἀρχαῖον καταβαλών, στέφος εἴληφας τὸ ἄφθαρτον.

Φιλερημίᾳ τρισμάκαρ, καὶ θείῳ ἔρωτι, ὥς περ ἐρημικός τις, νυκτικόραξ ηὐλίσθης, ἐν ὄρεσι οὗ ὕμνους καὶ προσευχάς, τῷ Δεσπότῃ ἀνέπεμπες, μόνον τὸ Πρόσωπον θέλων τὸ φωταυγές, Ὧ τελείως ἐξωμοίωσαι.

Δόξα. Ἦχος ὁ αὐτός.

Ἔχουσι μὲν ἐγκαλλώπισμα αἱ αἰγύπτιαι Θῆβαι, Παῦλον τὸν ἀρχηγὸν τῶν ἀσκητῶν, ἔχει δὲ καὶ ἡ ἡμετέρα περίκλυτος Πόλις κλέος μέγιστον, Νικήταν τὸν φωτοδρόμον ἀριστέα, ὅστις ὡς Σαμουὴλ παιδιόθεν ἑλκυσθεὶς τῷ Κυρίῳ, ἄχρι τέλους θαυμαστῶς ὄπισθεν Αὐτοῦ ἐκολλήθη, καὶ ἀνεδείχθη στύλος χριστοφώτιστος καὶ διδάσκαλος πρακτικός, ποτίζων ταῖς εὐχητικαῖς ροαῖς, τὴν γῆν τῆς Βοιωτίας. Αὐτὸν οὖν ἱκετεύσωμεν, ὑπὲρ ἡμῶν πρεσβεύειν πρὸς τὸν Φιλάνθρωπον.

Καὶ νῦν. Τῇ πρεσβείᾳ Κύριε.

Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καταξίωσον.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Σήμερον εὐλαβῶς, Νικήτα σου τιμῶμεν, Θηβαῖοι φαιδρὰν μνήμην, αἰτούμενοι πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον....

Ὄρος Θαβὼρ σοφέ, Νικήτα ἀναδείξας, εὐχῇ τὴν σὴν καρδίαν, φωτὶ τῷ ἀπροσίτῳ, ὅλος ηὐγάζου Ὅσιε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Βίῳ σου τῷ σεπτῷ, Χριστὸς ηὐφράνθη Πάτερ, σοῖς δὲ γλυκέσι λόγοις, πλήθη πιστῶν Νικήτα, ἠνδρώθησαν τῷ πνεύματι.

Δόξα. Ὅμοιον.

www.tezaurliturgic.ro

Δόξα σοι ὁ Θεός, Τριὰς ἡ Παναγία, ἡ δοῦσα πρέσβυν μέγαν, ἡμῖν σεπτὸν Νικήταν, σοῦ φωταυγὲς ἐκτύπωμα.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Δέσποινα ἀγαθή, σὺν τῷ πατρὶ Νικήτᾳ, ἱκέτευε ἀπαύστως, Δεσπότην ὑπὲρ πάντων, τῶν πίστει αἰτουμένων σου.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.

Ἀπολυτίκιον ὁσίου Νικήτα. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἐκ παιδὸς τῷ Κυρίῳ ἠκολούθησας Ὅσιε, διὰ προσευχῆς, ἀγρυπνίας καὶ παντοίας ἀσκήσεως, τηρῶν Αὐτοῦ προθύμως ἐντολάς, διὸ καὶ θεῖον Σχῆμα εἰληφώς, τῷ φωτὶ ηὐγάζου πάντοτε αἰσθητῶς, ὡς εἶδε Θεόδωρός σε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα Νικήτα τοῖς πιστοῖς, σὲ πρέσβυν θεῖον δείξαντι.

Ἕτερον τοῦ αὐτοῦ. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Νίκην ἐνίκησας, τὴν καλλιστέφανον, χάριτι Πνεύματος, Νικήτα ὅσιε, κόσμον σαὐτὸν καὶ τὸν σατάν, τρικέφαλον τέρας Πάτερ· ὅθεν καὶ ὁ Κύριος, ἀγαπήσας τὸν βίον σου, ἥλιον ἀνέδειξε, ἔκλαμπρόν σε καὶ ἄδυτον, Θηβαίοις καὶ λοιποῖς χριστωνύμοις, ἐν ὕμνοις τὴν μνήμην σου γεραίρουσι.

Ἕτερον, κοινὸν τῶν τεσσάρων. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τὴν θεοφόρον τετρακτὺν τῶν Ὁσίων, δεῦτε Θηβαῖοι μεγαλύνωμεν ὕμνοις, Νικήταν τὸν θεσπέσιον, καὶ θεῖον Δανιήλ, ἅμα δὲ Γρηγόριον σὺν κλεινῷ Θεοδώρῳ, τοὺς

Χριστὸν δοξάσαντας, διὰ βίου ἐνθέου, οὓς ἱκετεύσωμεν βοῶντες ἐκ ψυχῆς· ἡμᾶς Πατέρες, εὐχαῖς ἀεὶ σκέπετε.

**ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ**

Ἱστῶμεν στίχ. στ´ καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.

Νίκης σάλπιγγξιν ᾄδομεν, τὰ σεπτά σου παλαίσματα, τὸν Χριστὸν δοξάζοντες Ὅς σε ἔδειξε, Πάτερ Νικήτα πανάριστε, λαμπάδα τοῦ Πνεύματος, καὶ πυρσὸν θεοφεγγῆ, ἐξ ἀκτίστων ἐλλάμψεων, καὶ γεραίρομεν, σὴν πανέορτον μνήμην ἐξαιτοῦντες, τὴν συγχώρησιν πταισμάτων, καὶ σωτηρίας ἐπίτευξιν.

Θεοβλάστητον πέφυκας, δένδρον Πάτερ καὶ εὔκαρπον, εὐσεβῶν γονέων σου κληρωσάμενος, τὴν πατρικὴν θεοσέβειαν, διὸ ἐν βαπτίσματι, ἐπεφοίτησε σαφῶς, Παρακλήτου ἡ χάρις σοι, τὴν τοῦ μέλλοντος, φανεροῦσα χριστάρεστον πορείαν, δι᾽ ἧς πᾶσαν ὦ Νικήτα, τὴν Ἐκκλησίαν κατηύφρανας.

Ὡς Δαβὶδ περιέζωσαι, τὴν σφενδόνην τοῦ Πνεύματος, καὶ ἐξ ἄκρας πάτερ σου τῆς νεότητος, πρὸς Γολιὰθ παρατέταξαι, ψυχῶν τὸν πολέμιον, ὅν εὐστόχως ταῖς βολαῖς, σῶν καμάτων κατέβαλες στεφανούμενος, οὐ

φθαρτῆς βασιλείας τῷ στεφάνῳ, ἀλλὰ τῆς αἰωνιζούσης, Νικήτα πρᾶγμα καὶ ὄνομα.

Θείᾳ κλήσει ἑπόμενος, Θεοκλήτου προσέδραμες, τῇ μονῇ θεσπέσιε ἔνθα εἴληφας, τῶν μοναστῶν περιβόλαιον, καὶ Σχῆμα τὸ τίμιον, σὺν συγγόνῳ τῷ σεπτῷ, τῷ δὲ κέντρῳ βαλλόμενος, ἀγαπήσεως, ἡσυχίας ἀγγέλου ὀπτασίᾳ, μέγας Πάτερ ἀνεδείχθης, ἐντρυφητὴς καὶ διδάσκαλος.

Παρακλήτου ἀνώγεων, ἀρεταῖς σου γενόμενος, ἱερέων κλήρῳ Πάτερ τετίμησαι, καὶ τῶν παθῶν καθαιρόμενος, θυσίαν σωσίκοσμον προσενήνοχας Θεῷ, σεραφεὶμ ὡς πυρίμορφον, προστιθέμενος, ἐνοικούσῃ σοι χάριτι τὴν χάριν, ἣ σὸν πρόσωπον Νικήτα, ἀγγελομόρφως ἐδόξαζε.

Ὡς ὁμοίῳ προσέδραμεν, σοὶ Νικήτα Θεόδωρος, ὁ τὸ φῶς τὸ λάμπον σε θεασάμενος, καὶ Δανιὴλ ὁ εὐτράπεζος, τῶν λόγων τρυφήσας σου, ὡς τροφὴν ἐξ οὐρανοῦ, μεθ᾿ ὧν πρέσβευε πάντοτε, ἱλεούμενος, τὸν Δεσπότην συνάμα Γρηγορίῳ, παρασχεῖν ἡμῖν εἰρήνην, καὶ σωτηρίαν αἰώνιον.

Δόξα. Ἦχος β΄.

Οὓς περ τὸ Πνεῦμα ἐσφράγισε, τούτους καὶ ἀνέδειξε φωστῆρας οἰκουμένης· μεθ᾿ ὧν καὶ τὸ ἡμέτερον καύχημα, Νικήταν τὸν τρισμέγιστον, τῶν παλαιῶν Ὁσίων τὸν ἰσάξιον συναθλητήν, καὶ στεφηφόρον πανοπλίτην. Ὃς παιδιόθεν τοῖς θαυμασίοις συνακολουθούμενος, ὅλος ἠλλοιώθη τὴν μακαρίαν τοῦ Σωτῆρος ἀλλοίωσιν, καὶ πλήθη συνήρμοσε πανσόφως τῷ οὐρανίῳ Πατρί. Αὐτὸν τιμῶντες σήμερον ἱκετεύσωμεν λέγοντες· μνήσθητι Πάτερ ἅγιε, τῶν τὴν σεβασμίαν μνήμην σου ἐπιτελούντων, καὶ πρέσβευε ἐκτενῶς ὑπὲρ ἡμῶν πρὸς Κύριον.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον.
Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἀναγνώσματα ὁσιακά.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνησουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα·

ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Νικητικοῖς μέλεσιν ἡ ἐνεγκαμένη σε πόλις, θεοφόρε Νικήτα σήμερον γεραίρει, ὅτι πλουτεῖ πρὸς τὸν Θεὸν ἀκαταισχύντως ἱκετεύουσαν τὴν ὁσιακήν σου ψυχήν. Καὶ τὴν χρυσόσειρον ἀρετήν σου θαυμάζουσα, ὡς στηρικτικὴν ἐν Χριστῷ, γηθοσύνως Αὐτῷ βοᾷ· ταῖς πρεσβείαις τοῦ τέκνου μου Δέσποτα, τείχισον καὶ ὀχύρωσόν με, εἰς εὐαρέστησίν σου σωτήριον.

Ἦχος β΄.

Τοῖς φυσικοῖς σου χαρίσμασι συγκεράσας, Ὅσιε Νικήτα τὴν χάριν τοῦ Θεοῦ, γέγονας ταύτης ὑπέρλαμπρον ἐργαστήριον· καὶ παιδιόθεν σύνεσιν κτησάμενος, ὑπερηύξησας τὸ χάρισμα, σοφισθεὶς τῷ Ἁγίῳ Πνεύματι. Ὅλος δὲ θεοδηγούμενος, τῇ ἀκλονήτῳ σου ἀσκήσει, τὸ θεϊκὸν πῦρ ἀκάματον διετήρησας· καὶ πείρᾳ ἔμαθες τὴν τῶν οὐρανίων πραγμάτων οὐσίαν, ὧν νῦν τρανῶς κατατρυφῶν, μνήσθητι ἡμῶν τῶν τιμώντων σε.

Ἦχος γ΄.

Τῷ θεϊκῷ ἔρωτι συζῶν μακάριε, τῷ Ἰησοῦ συνηκολούθεις νοερῶς ἐν τῇ ζωῇ σου. Ὅθεν καὶ Αὐτός σε ὑπεραξίως ἀγαπήσας, ἀνήγαγέ σε εἰς τὴν τοῦ μυστικοῦ Θαβὼρ ἀΐδιον ἀκτινοχυσίαν, φαιδρῶς καταυγάζων τὸ χαροποιόν σου πρόσωπον, Νικήτα παμμακάριστε. Ὅθεν καὶ ἡμᾶς ἠμαυρωμένους τοῖς ἁμαρτητικοῖς παραπτώμασι, φώτισον δεόμεθα, ταῖς πατρικαῖς ἱκεσίαις σου.

Ἦχος δ΄.

Τὴν τοῦ παλαιοῦ Ἀδὰμ ἀπεκδυσάμενος θανατοῦσαν δοράν, τοῦ ζωοδότου Χριστοῦ ἐπενεδύθης Νικήτα χάριν· ὅθεν εὐωδία Αὐτοῦ γεγονώς, πάσῃ λογικῇ τε καὶ ἀλόγῳ φύσει ἐπέραστος γέγονας, ὡς φέρων ἐν σεαυτῷ τὴν

σφραγῖδα τῆς ἀπολυτρώσεως, ἥν καὶ ἡμῖν Πάτερ ἐπανεγκαίνισον, ταῖς θεοδέκτοις ἱκεσίαις σου.

Δόξα. Ἦχος πλ.α΄.

Τῷ πνευματικῷ νόμῳ παιδιόθεν ὑποζευχθεὶς ἑκουσίως, ὅσιε Νικήτα, τὸν ἀέρα ἀναπνέων τῆς ἐλευθερίας τῶν τέκνων τοῦ Θεοῦ, ἀπελεύθερος Χριστοῦ ἐγένου. Ὅθεν πλείστοις χαρίσμασι κατακοσμηθείς, ἐστήριξας οὐ μόνον τὰ πλήθη τῶν συνόντων σοι μοναστῶν, ἀλλὰ τοῖς ἀποστολικοῖς σου λόγοις ἐδρόσισας καὶ πάντας τοὺς προσιόντας σοι. Ὅθεν Πάτερ θεοχάριστε, ἐπεύφρανον καὶ νῦν ἡμᾶς τῇ τοῦ Πνεύματος δρόσῳ, τοὺς ἐν καμίνῳ πειρασμῶν ἐμπεσόντας, χεῖρας σου ὑψῶν ὡς Μωσῆς πρὸς Κύριον.

Καὶ νῦν. Μακαρίζομέν σε.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Ψάλλομεν στιχηρὰ προσόμοια
Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Νικήτα κλέος Θηβῶν, τῶν Ἑπταπύλων πύλην ὄντως εὑράμενος, ζωῆς τε καὶ ἀφθαρσίας, Χριστὸν Ὃν πόθῳ πολλῷ, κατακολουθήσας, μέγας γέγονας· ἀσκήσει γὰρ Ὅσιε, τὴν ψυχὴν καθηράμενος, φωτὸς ἀκτίστου, τὰς ἀκτῖνας εἰσδέδεξαι, καὶ διδάσκαλος, ἀνεδείχθης θεώσεως· πλήθη δὲ καθωδήγησας, σοφαῖς εἰσηγήσεσι, πρὸς τὴν ζωὴν τοῦ Κυρίου, ὡς λογικὰ ἀναθήματα. Πρεσβεύων ἀπαύστως, μὴ ἐλλίπῃς οὖν παμμάκαρ ὑπὲρ τιμώντων σε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ξίφει τῆς νοερᾶς προσευχῆς, καὶ τῇ σφενδόνῃ τῆς ἀσκήσεως Ὅσιε, Νικήτα σατὰν καθεῖλες, καὶ τὸν Χριστὸν σῇ ψυχῇ, ὅλον εἰσοικήσας, πάθη ἔταμες· διὸ πᾶσι γέγονας, ἀρετῆς μύστης ἄριστος, σῇ πολιτείᾳ,

πείθων μᾶλλον ἤ λόγοις σου, κόσμου ρήσσεσθαι, καὶ Κυρίῳ προσέρχεσθαι. Ὅθεν πόλιν ἀνέδειξας, ἀγγέλων τὴν ἔρημον, συναγαγὼν μαθητάς σου, καὶ μιμητὰς θείου βίου σου, μεθ᾽ ὧν ἱκετεύων, μὴ ἐλλίπῃς τὸν Δεσπότην, ὑπὲρ τιμώντων σε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Φῶς σε, περιαστράψαν λαμπρῶς, εἶδε Νικήτα ὁ πρεσβύτης Θεόδωρος, νυκτός σου ἐπευχομένου, τοὺς δὲ ἀγγέλους Θεοῦ, φόβῳ παρεστῶτας κοιμωμένου σου, ὁ δὲ καθηγούμενος, ἄρτον θεῖον δεξάμενος, πᾶσαν τοῦ βίου, ἐπιρρίπτειν τὴν μέριμναν, Πάτερ ἔμαθε, τῷ ἡμᾶς διαπλάσαντι· νῆψιν δὲ καὶ ἐγρήγορσιν, ἐδίδαξας ἄριστα, τῷ Δανιὴλ προσελθόντι, καὶ ἐκζητήσαντι ρῆμά σου. Σὺν τούτοις μὴ παύσῃ, ἱκετεύειν τὸν Δεσπότην, ὑπὲρ τιμώντων σε.

Δόξα. Ἦχος πλ.β΄.

Εἰ εὐλογία παντὸς ὁσίου προσοικειοῖ τῷ Θεῷ, πολλῷ μᾶλλον ἡ σὴ χριστοειδὴς καὶ θεοπειθὴς ἱκεσία, Πάτερ Νικήτα, τοὺς κατὰ σάρκα συμπολῖτάς σου Θηβαίους, ἀναβιβάζει εἰς τὴν τοῦ Δεσπότου ἐκζήτησιν. Τέλειος γὰρ Αὐτῷ ἀναδειχθείς, πρὸς τὴν τελειότητα ὁδήγησον καὶ ἡμᾶς, θέλοντας μὲν ταύτην, ἀλλ᾽ ἑλκομένους φεῦπ τῇ πονηρᾷ τῶν ἐπικήρων συνηθείᾳ. Νίκησον οὖν Ὅσιε, τὴν ραθυμίαν δεόμεθα, καὶ ἄνδρισον ἡμῶν τὰ φρονήματα, ὅπως γεραίρωμεν εὐγνωμόνως τὴν χαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.

www.tezaurliturgic.ro

## ᾿Απολυτίκια

Τοῦ ὁσίου Νικήτα. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

᾿Εκ παιδὸς τῷ Κυρίῳ ἠκολούθησας Ὅσιε, διὰ προσευχῆς, ἀγρυπνίας καὶ παντοίας ἀσκήσεως, τηρῶν αὐτοῦ προθύμως ἐντολάς, διὸ καὶ θεῖον Σχῆμα εἰληφώς, τῷ φωτὶ ηὐγάζου πάντοτε αἰσθητῶς, ὡς εἶδε Θεόδωρός σε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα Νικήτα τοῖς πιστοῖς, σὲ πρέσβυν θεῖον δείξαντι.

Ἕτερον τοῦ αὐτοῦ.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Νίκην ἐνίκησας, τὴν καλλιστέφανον, χάριτι Πνεύματος, Νικήτα ὅσιε, κόσμον σαὐτὸν καὶ τὸν σατάν, τρικέφαλον τέρας Πάτερ· ὅθεν καὶ ὁ Κύριος, ἀγαπήσας τὸν βίον σου, ἥλιον ἀνέδειξε, ἔκλαμπρόν σε καὶ ἄδυτον, Θηβαίοις καὶ λοιποῖς χριστωνύμοις, ἐν ὕμνοις τὴν μνήμην σου γεραίρουσι.

Ἕτερον, κοινὸν τῶν τεσσάρων.
Ἦχος δ΄. ῾Ο ὑψωθείς.

Τὴν θεοφόρον τετρακτὺν τῶν ὁσίων, δεῦτε Θηβαῖοι μεγαλύνωμεν ὕμνοις, Νικήταν τὸν θεσπέσιον, καὶ θεῖον Δανιήλ, ἅμα δὲ Γρηγόριον σὺν κλεινῷ Θεοδώρῳ, τοὺς Χριστὸν δοξάσαντας, διὰ βίου ἐνθέου, οὓς ἱκετεύσωμεν βοῶντες ἐκ ψυχῆς· ἡμᾶς Πατέρες, εὐχαῖς ἀεὶ σκέπετε.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α´ στιχ.Κάθισμα. Ἦχος α´. Τὸν Τάφον σου Σωτήρ.

Ἀκτίστων δωρεῶν, ἠξιώθης παμμάκαρ, τηρήσας σεαυτόν, ὡς ναὸν τοῦ Κυρίου, διὸ καὶ κατηύγασας, Βοιωτίαν τῷ βίῳ σου, ἄλλος ἄγγελος, καὶ νοῦς θεόφρων ὑπάρξας, χάριν ἄφθονον, διδοὺς τοῖς πόθῳ τιμῶσι, Νικήτα τὴν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἐλέησον ἡμᾶς, Θεοτόκε Παρθένε, τοὺς πταίσμασι πολλοῖς, τὸν Υἱόν σου λυποῦντας, καὶ δὸς τὴν μετάνοιαν, ἀκλινῆ ταῖς πρεσβείαις σου, ὅπως Δέσποινα, ὑπολειπόμενον βίον, διανύσωμεν, ἐν καθαρᾷ συνειδήσει, Θεῷ συμμορφούμενοι.

Μετὰ τὴν β´ στιχολ.Κάθισμα. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Παννυχίοις στάσεσι, καὶ ἀγρυπνίᾳ, προσευχῇ συντόνῳ τε, νοῦν ἐκκαθάρας τῶν παθῶν, ὤφθης Νικήτα ἰσάγγελε, ἄστρον φωτίζον, αὐγαῖς θείου βίου σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μητρικάς σου ὕψωσον, χεῖρας Παρθένε, καὶ Χριστὸν ἱλέωσαι, ὑπὲρ ἡμῶν τῶν ἀδεῶς, ἁμαρτανόντων ἑκάστοτε, καὶ φόβον τούτου, ἡμῖν δὸς σωτήριον.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ´. Τὴν Σοφίαν & Λόγον.

Τὴν τετράδα ῾Οσίων πανευλαβῶς, εὐφημήσωμεν ὕμνοις πνευματικοῖς, Νικήταν τὸν πάντιμον, καὶ πρεσβύτην Θεόδωρον, Δανιὴλ τὸ θῦμα, ἀγάπης τοῦ Κτίσαντος, ἀσκητῶν τε κλέος, τὸν θεῖον Γρηγόριον· οὗτοι γὰρ ἐνθέοις, ἀρεταῖς καὶ τῷ βίῳ, ὡς ἄστρα ἐκλάμψαντες, τῷ Χριστῷ πλήθη ἤγαγον, καὶ πολίτας ἀνέδειξαν, τῆς ἄνω Βασιλείας διδαχαῖς, καὶ πρεσβεύουσι χάριν τοῦ Πνεύματος, τοῖς πιστοῖς δωρηθῆναι, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸν Χριστὸν παροργίζων Μῆτερ ῾Αγνή, καθ᾽ ἑκάστην αἰσχύνῃ ἁμαρτιῶν, οὐ παύομαι Δέσποινα, τῶν παθῶν ξέειν πάντοτε, τὰς αἰτίας ὧν περ, δεσμοῖς περικείμενος, ὡς δεσμώτης τούτων, ἀεὶ καταπείθομαι. Οἴμοιπ τί ποιήσω; εἰ μὴ σέ μου προβάλλω, ὡς πρέσβιν εὐπρόσδεκτον, πρὸς Υἱόν σου φιλάνθρωπον, καὶ αἰτήσομαι ἄφεσιν, πολλῶν ἁμαρτιῶν καὶ σταθεράν, τὴν πορείαν μετανοίας ῎Αχραντε, ὅπως τύχω ἐλέους, ὁ τάλας καὶ χάριτος.

Οἱ ᾽Αναβαθμοί· τὸ α´ ἀντίφωνον τοῦ δ´ ἤχου. ᾽Εκ νεότητός μου.  
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου...  
Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ........  
Εὐαγγέλιον· ῾Οσιακόν (βλ.εἰς τὸν ῎Ορθρον τοῦ ὁσ.Σάββα)  
῾Ο Ν´. Δόξα. Ταῖς τῶν σῶν ῾Οσίων.  
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. ᾽Ελεῆμον, ἐλέησόν με ὁ Θεός...καὶ τὸ ἰδιόμελον ῏Ηχος πλ.β´.

Τὴν ματαιότητα τῶν φαινομένων συνετῶς καταζυγίσας, Θεὸν προετίμησας ἐλλόγως, Οὗ οὐδὲν

ἐρασμιώτερον, οὐδὲν ποθεινότερον καὶ ἐπιθυμητότερον, ὅσιε Νικήτα πέφυκεν. Ὅθεν τοῦ κάλλους τούτου παμπλουσίως ἐμφορηθείς, καταυγάζεις ὡς κομήτης οὐρανόθεν ἡμᾶς, τοὺς τιμῶντας σήμερον τὴν μνήμην σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.
Εἶτα οἱ Κανόνες κατὰ τὴν τάξιν αὐτῶν καὶ ὁ Κανὼν τοῦ Ὁσίου,
οὗ ἡ ἀκροστιχίς:
**"Νικητικά σοι ᾄσματα, Πάτερ Νικήτα, ᾄσω. Ἀ(θανάσιος)".**

Ὠδὴ α΄. Ἦχος πλδ΄. Ἁρματηλάτην Φαραώ.

Νικητικὰ ἐμπρέπουσί σοι ᾄσματα, ἀλλ' ἡ φθογγὴ τῆς ἐμῆς, σάλπιγγος Νικήτα, δύσηχος καὶ ἄμουσον, τὸ μέλος ἀπεργάζεται, ἐκ πολλῆς ἀμελείας, ὅθεν κραυγάζω σὺ ἔμπνευσον, ὕμνον τὸν παρόντα μου Ὅσιε.

Ἱεριχοῦς παρόντος βίου Ὅσιε, καθεῖλες τείχη σαφῶς, ἐκ τῆς ἑπταπύλου, πόλεως γεννώμενος, καὶ γέγονας συμμέτοχος, τῆς ὀγδόης ἡμέρας, τὰ ὑπὲρ φύσιν θηρώμενος, ταῖς ἀσκητικαῖς ἀναβάσεσι.

Κληρονομήσας γονικὴν εὐσέβειαν, ὡς βάσιν ταύτην δὲ σχών, ὅσιε Νικήτα, πλοῦτον ἐταμίευσας, τῇ συνεργίᾳ Χάριτος, ἥν Θεὸς δέδωκέ σοι, καὶ ὡς σοφώτατος ἔμπορος, ταύτην συνετῶς ᾠκονόμησας.

Θεοτοκίον

Ἠλέησέ με ὁ Χριστὸς Πανάμωμε, καὶ εὐηργέτησε, πάλιν καὶ πολλάκις, ὡς φιλανθρωπότατος, ἐγὼ δὲ ὁ ἀναίσθητος, ἁμαρτίαις ποικίλαις, τοῦτον λυπῶν ἱκετεύω σε· σῶσον δωρεάν με πρεσβείαις σου.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Τετρακτὺν ἐνεδύθης, τῶν ἀρετῶν πάντιμε, φρόνησιν, ψυχῆς τὴν ἀνδρείαν, δικαιοσύνην τε, καὶ σωφρονέστατον, ἦθος ἐν βίῳ σου ὅθεν, ἡμιλλήθης Ὅσιε, τοῖς πάλαι λάμψασι.

Ἱερῶς προσημαίνων, τὸν θαυμαστὸν βίον σου, Πνεύματος Ἁγίου τὴν Χάριν, ἐν τῷ βαπτίσματι, σχήματι δέδειχε, περιστερᾶς τοῖς παροῦσι, ὁ υἱοθετήσας σε, Νικήτα Κύριος.

Κατ᾽ εὐχὴν γεννητόρων, τὴν ἐκλεκτὴν Ὅσιε, τρίβον ἠκολούθησας ὅθεν, Σχῆμα τὸ ἅγιον, ποθήσας εἴληφας, σὺν τῷ ὁμαίμονι Πάτερ, τρέχοντες ὡς ἔλαφοι, Κυρίου ὄπισθεν.

Θεοτοκίον

Ἁγνὴ πέλουσα Νύμφη, ἁμαρτιῶν κάθαρον, τὴν μεμολυσμένην ψυχήν μου, καὶ ἐγκατοίκισον, Πνεῦμα τὸ Ἅγιον, τὸ πυρπολοῦν πάντα ῥύπον, καὶ καινῖζον Δέσποινα, ἅπασαν ὕπαρξιν.

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἡ λαμπρά σου ἑορτή, ψυχὰς εὐφραίνει τῶν πιστῶν, οἰκειοῦσα τῷ Θεῷ, ταύτας πρεσβείαις σου σεπταῖς, Νικήτα κλέος Θηβῶν καὶ δόξα. Ἀστὴρ γὰρ φαεινός, ἐδείχθης πάτερ Βοιωτοῖς, ἐν ἔργοις θαυμαστοῖς, καὶ γλυκυτάταις διδαχαῖς, ὅθεν Κυρίῳ ἱστάμενος μὴ παύσῃ, ὑπὲρ ἡμῶν ἱλεούμενος, δοθῆναι πᾶσι, τὴν σωτηρίαν, καὶ πταισμάτων τὴν συγχώρησιν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸ μεθόριον σὺ εἶ, Κόρη ἀκτίστων καὶ κτιστῶν, ὡς μὲν σάρκα τὴν φθαρτήν, ἔχουσα δ᾽ ἄφθαρτον Θεόν,

ἐκυοφόρησας κτίστην τοῦ κόσμου, μηδόλως τὴν φθοράν, γνοῦσα Παρθένος ἀληθής, πρὸ τόκου σου φρικτοῦ, καὶ ἐν αὐτῷ καὶ μετ' αὐτόν, μείνασα ὄντως χάριτι θείᾳ, ὅθεν παρθένων τὰ τάγματα, ὑμνολογοῦσι, τὴν ὑπὲρ λόγον, θεοτοκίαν σου Πανύμνητε.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.

Σοῖς ὀφθαλμοῖς Ὅσιε, ὕπνον οὐ δέδωκας, καὶ κροτάφοις, πάλιν οὐκ ἀνάπαυσιν, ἐπιζητῶν τὸν σαββατισμόν, ὃν Χριστὸς παρέχει, τοῖς φοβουμένοις τὸ θέλημα, Αὐτοῦ ἐν χώρᾳ ζώντων, ἐν Σιὼν τῇ ἀφθάρτῳ, οὗ οἱ Ἅγιοι πάντες εὐφραίνονται.

Ὁ κραταιὸς ἔρως σε, ὅλον κατέτρωσεν, ἡσυχίας, Ὅσιε φιλέρημε, διὸ Θεὸς ἄγγελον Αὐτοῦ, γέροντί σου πέμψας, σὲ ἐπιτρέψαι προσέταξεν, ἐρήμῳ κατοικῆσαι, καὶ σχολάσαι ἐνθέως, εἰς εὐχὰς νυχθημέρους ὡς ἄσαρκος.

Ἱριδισμοὺς χάριτος, Πάτερ ἑώρακας, ἐν Ὀστείᾳ, σπήλαιον εὑράμενος καὶ ἐν αὐτῷ, τὸν ἀσκητικόν, βίον ἐνεργήσας, ἀεὶ γονάτων ταῖς κλίσεσι, τῇ ἄκρᾳ χαμευνίᾳ, καὶ νηστείᾳ συντόνῳ, οἷς τὸ θεῖον Νικήτα μειλίσσεται.

Θεοτοκίον

Ἀκηκοὼς Δέσποινα, ὃ προεφήτευσας, ὅτι πᾶσαι, γενεαὶ δοξάσουσιν, εἰς γενεὰς ὄνομα τὸ σόν, πόθῳ σε δοξάζω, καὶ ἀνυμνῶ θείαν δόξαν σου, ἐλπίζων ταῖς εὐχαῖς σου, ἐφευρεῖν σωτηρίαν, καὶ φυγεῖν καταδίκην κολάσεως.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Συνετάγης δικαίως, ἱερεῦσι τῆς Χάριτος ὑπεράξιε, τὴν ἁγνὴν θυσίαν, τῷ Δεσπότῃ προσάγων ἐν δάκρυσι, νύκτωρ δὲ τὰ ὄρη, περιπολεύων ἠῦχου Πάτερ, σεραφεὶμ ὥς τις ἄσαρκος ἄγγελος.

Μόνον ἕνα χιτῶνα, ἐνδυόμενος ἄριστα διεφύλαξας, τῆς ἀκτημοσύνης, ὅρον τέλειον κατὰ τὸ λόγιον, οὐ γάρ σοι ὑπῆρχε, τῶν ὑλικῶν ἀγχώδης κτῆσις, ὡς Χριστοῦ μεριμνῶντος σου Ὅσιε.

Ἀπελαύνων σωφρόνως, ἀνθρωπάρεσκον οἴδημα ἐξ ἀσκήσεως, ἤσκεις τὴν νηστείαν, ἐν πολλῇ διακρίσει τρισόλβιε, ὅθεν ὁ Χριστός σοι, χάριν ἐξαίρετον παρέσχε, ὡς παισὶ Βαβυλῶνος νηστεύσασι.

Θεοτοκίον

Τάλαντά μοι Παρθένε, ὁ Χριστὸς ἐδεδώκει πρὸς σωτηρίαν μου, ἅπερ οἴμοιπ κρύψας, δειλιῶ πῶς Αὐτῷ παραστήσωμαι, καὶ τὴν καταδίκην, ἐκφύγω Μῆτερ τὴν δικαίαν, ὅθεν ἵλεως φάνηθι Δέσποινα.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι, Σωτήρ.

Ἀπόστολος ἀληθής, τῇ γενεᾷ σου γεγένησαι, Νικήτα λόγοις ζωῆς, στηρίζων τοὺς πέλοντας, καὶ συνάπτων ἅπαντας, διὰ μετανοίας, τῷ Κυρίῳ πάτερ ἄριστα.

Παθῶν τῶν σωματικῶν, καὶ ψυχικῶν ἄλγη ἤλασας, ἐλαίῳ χρίων πιστούς, Νικήτα φιλάνθρωπε, καὶ δαιμόνων τάγματα, δι᾽ εὐχῆς ἁγίας, τῶν πασχόντων ἐξεδίωξας.

Ἀνοίγων τὸ μελιχρόν, καὶ εὐωδέστατον στόμα σου, ἐν νήψει χριστοειδεῖ, ἐδίδασκες Ὅσιε, χαριέντως ἅπαντας, τὰ πρὸς σωτηρίαν, καὶ τὴν κάθαρσιν συντείνοντα.

Θεοτοκίον

Τὸ μέγεθος ἀνυμνῶ, σῆς μητρικῆς πρός με Δέσποινα, στοργῆς καὶ ὑμνολογῶ, τὴν ἁγίαν σκέπην σου, ᾗ με τὸν ἀχάριστον, πάντοτε φυλάττεις, καὶ δοξάζω τὴν ἀγάπην σου.

**Κοντάκιον. Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ.**

Θῆβαι ἑπτάπυλοι οὐκ ἔτι τείχη ἔχουσιν,
εἰ μὴ ἁγίων τὴν πρεσβείαν τὴν ἀήττητον,
πρὸς Χριστὸν Βασιλέα Σιὼν τῆς ἄνω·
τοῦ Νικήτα ἐν ἀσκήσει διαλάμψαντος,
Θεοδώρου Δανιὴλ καὶ Γρηγορίου τε,
πρὸς οὓς κράζουσι· θεοφόρητοι χαίρετε.

**Ὁ Οἶκος**

Ἄγγελος σαρκοφόρος, ἀνεφάνης Νικήτα, Θηβῶν τῶν ἑπταπύλων προστάτα· συναγείρων οὖν ἡμᾶς, προσδέχου νῦν τὴν χαρμόσυνον αἴνεσιν Ὅσιε, ἐπὶ τῇ μνήμῃ σου τῇ λαμπρᾷ βοῆσαι ἐκ ψυχῆς τοιάδε·

Χαῖρε Θηβῶν ἑπταπύλων ὁ γόνος
χαῖρε Βοιωτῶν ἡ χριστόδωρος δόσις.
Χαῖρε γεννητόρων εὐλαβῶν θεῖον βλάστημα
χαῖρε τοῦ ὀγδόου αἰῶνος ἀπόκτημα.
Χαῖρε ὅτι ἀπὸ βρέφους ἐκολλήθης τῷ Θεῷ
χαῖρε ὅτι ἐδείχθης μέγα κλέος ἀσκητῶν.
Χαῖρε φωτὶ ἀπλέτῳ αὐγαζόμενος βίῳ
χαῖρε ζωῆς πηγάζων ῥήματα δεομένοις.
Χαῖρε πλήθη ἄπειρα τῷ Χριστῷ προσαγαγών
χαῖρε πάθη σώματος ἰατρεύσας καὶ ψυχῶν.
Χαῖρε σὺν τῇ τριάδι ἰσαγγέλων Πατέρων
χαῖρε καὶ δέχου ὕμνον σὺν αὐτοῖς ἐκ σῶν τέκνων,

Θεοφόρητοι χαίρετε.

www.tezaurliturgic.ro

καὶ τὸ Συναξάριον

Τῇ κγ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Νικήτα τοῦ ἐκ Θηβῶν, Θεοδώρου τοῦ εὐλαβοῦς ἱερέως, Δανιὴλ τοῦ ἐκ Πατρῶν καὶ Γρηγορίου τοῦ ἐκ Μυστρᾶ.

Στίχοι εἰς τοὺς τέσσαρας

Τετρὰς Ὁσίων ἀρετῶν τὴν τετράδα
ὑπενδυθεῖσα τῆς Ἐδὲμ ἔνδον ἔστη.

Εἰς τὸν ὅσιον Νικήταν

Νίκην νικήσας ὁ Θήβηθεν Νικήτας
στέφος ὁσίων εἴληφεν ἀφθαρσίας.
Δέρας ἑπταδικόν, Νικήτα, τήμερον ἐξεδύθης.

Οὗτος ὁ θαυμαστὸς πατὴρ ἡμῶν Νικήτας, τὸ γέννημα καὶ κλέος τῶν ἑπταπύλων Θηβῶν, ἔφυ ἐκ γονέων πάνυ εὐλαβῶν, ἀφιερωσάντων τοῦτον ὡς ἀνάθημα ἱερὸν τῷ Κυρίῳ, ὡς αἰσθομένων τὴν ἀπὸ κοιλίας μητρὸς αὐτῷ δοθεῖσαν ἄνωθεν χάριν. Ὃς οὖν δεκαεξαετὴς γενόμενος τὴν μοναστικὴν ἐξελέξατο τρίβον μετὰ τοῦ αὐτοῦ συναίμονος καὶ εἶτα τὴν κατὰ μόνας ἀσκητικὴν ζωὴν ἐπιλεξάμενος, ἐν ᾗ πολλὰ τῷ Θεῷ εὐαρεστήσας ἐν ἀδιαλείπτῳ προσευχῇ, ἰσοβίῳ νηστείᾳ, παννύχοις στάσεσιν, ἀκαμάτοις γονυκλισίαις, εἰλικρινεῖ φιλανθρωπίᾳ καὶ καύσει καρδίας ὑπὲρ τῆς λογικῆς τε καὶ ἀλόγου φύσεως, μέγας διδάσκαλος ἐφάνη τῆς κατὰ Θεὸν ζωῆς. Ὅθεν τοῖς μελιχροῖς λόγοις, τὴν ὁσιακὴν βιοτὴν αὐτοῦ συνοδεύουσι, πολλοὺς ἐξ ἀναξίων ἀξίους τῷ Δεσπότῃ προσήγαγε καὶ ἀληθῆ χριστέκτυπα ἀνέδειξεν. Ἀξιωθεὶς δὲ καὶ τοῦ θαυματουργικοῦ πρὸς τοῖς λοιποῖς χαρίσματος, ἰατρὸς ἐφάνη ψυχῶν ἐμπειρότατος καὶ σωμάτων ἰαματικώτατος, θείῳ ἐλαίῳ ἐπιχρίων τοὺς πάσχοντας καὶ ἱλέως τούτοις ἐπευχόμενος. Τῷ ἀκτίστῳ δὲ φωτὶ ἀεί που περιλαμπόμενος, ὡς εἶδε τοῦτο καὶ εὐλαβής τις ἱερεὺς τὴν κλῆσιν Θεόδωρος, εἵλκυσεν ὡς ἡ μαγνῆτις

τὸν σίδηρον πολλοὺς θεοφιλεῖς ἐγγύθεν καὶ πόρρωθεν, ἐν οἷς καὶ τὸν ἐκ Πατρῶν φιλόξενον μοναχὸν Δανιήλ μεθ' οὗ ἔσχε ψυχωφελεστάτην τὴν ἔντευξιν, ὡς ὁ κατὰ πλάτος βίος τούτου θαυμασίως ἱστορεῖ. Πλήρης δ' ἡμερῶν γενόμενος καὶ τοῖς πνευματικοῖς φοιτηταῖς αὐτοῦ τὰ προσήκοντα διαθέμενος ἀπῆλθεν νικηφόρος πρὸς Ὃν ἠγάπησε Κύριον κατὰ τοὺς χρόνους τῆς βασιλείας Νικηφόρου τοῦ Βοτανειάτου ἐν ἔτει ϙοθ´ ἀπὸ Χριστοῦ. Τούτου τοῦ ἐξαισίου πατρὸς συνόμιλος ἐγένετο καὶ ὁ ἐν τῷ βίῳ ἀναφερόμενος μέγας ὅσιος Γρηγόριος, ὁ ἐκ Μυστρᾶ μὲν καταγόμενος, ἐν νήσοις δὲ τῇ Εὐβοίᾳ προσκειμέναις ἐξασκήσας τὸν θεοφιλῆ καὶ ἀσκητικὸν αὐτοῦ δίαυλον.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ´. Παῖδες ἑβραίων.

Ἔλυσας στείρωσιν γυναίων, τῇ ἐντεύξει σου, Νικήτα θεοφόρε, καὶ ἀγόνους ψυχάς, τὸ πρῴην ὑπαρχούσας, καλλικαρπούσας ἔδειξας, πατρικῇ ἐπιστασίᾳ.

Ῥήμασι θείοις μὴ πεισθείς σου, καθηγούμενος τῷ ἔργῳ κατεξέστη, ἄρτον Πάτερ ἰδών, πεμφθέντα οὐρανόθεν, σὺν βρώμασι τοὺς λόγους σου, βεβαιοῦσιν ἐξαισίως.

Νόας κατεῖδεν ἀσωμάτους, ὁ Θεόδωρος, φυλάττοντάς σε Πάτερ, καὶ νεφέλην φωτός, ἀκτίστου σκέπουσάν σε, ὡς ἐν Θαβὼρ ἐκάλυψεν, ἀποστόλους ἀπορρήτως.

Θεοτοκίον

Ἴδοιμι γῆν ἐπαγγελίας, Παναμώμητε εὐχαῖς σου παναγίαις, καὶ νυμφῶνος Χριστοῦ, ἀξιωθείην Κόρη, ὁ ἔργοις θεῖον κάλλος μου, ἀμαυρώσας ἀνοήτως.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Κλίνῃ Πάτερ, χρυσοειδεῖ ἐφάνης, κοιταζόμενος, ἐν μέσῳ τῶν ἀγγέλων, οἳ τὸ σεμνόν σου σῶμα περιέσκεπον, βίον φανεροῦντες, ὅσιε Νικήτα, ὁμότροπόν σου τούτοις.

Ἡ μὲν νύξ σε εὐχόμενον ἑώρα, καὶ ὁ ὄρθρος πυρός, ὡς στύλον εἶχε Πάτερ, ὑπὲρ σαὐτοῦ καὶ κόσμου ἱλεούμενον, τὸν καλὸν Δεσπότην, πάντιμε Νικήτα, ἀκαταπαύστοις πόνοις.

Τὰς σὰς χεῖρας ἐκτείνων ἱκεσίως, κάτω εἵλκυες, τῆς χάριτος τοὺς ὄμβρους, καὶ ὡς ἀσώματος ἐκρέμασο τρισόλβιε, πλήρης θείας αἴγλης, καὶ φωτὸς ἀπείρου, Νικήτα χριστευχέτα.

Θεοτοκίον

Ἀχωρίστως Πατρὸς εἰς γῆν κατῆλθεν, ὁ Φιλάνθρωπος Υἱός σου Θεομῆτορ, καὶ τὸν πλανώμενόν με ὄρεσι συνήγαγε, πάλιν εἰς τὴν μάνδραν, θείας Βασιλείας, Σταυροῦ τῇ βακτηρίᾳ.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἀχρεῖον δοῦλον ἔχων Πάτερ σαὐτόν, τοῦ Κυρίου ἐποίεις τὸ θέλημα, ἀπὸ ψυχῆς, ὅθεν καὶ τὸ Πνεῦμα τὸ ἀγαθόν, κατῴκησε καρδίᾳ σου, τεταπεινωμένῃ καὶ καθαρᾷ, καὶ ἔρρευσαν ὡς μέλι, αἱ θεῖαι ἀρεταί σου, δι᾽ ὧν γλυκαίνεις τοὺς τιμῶντάς σε.

Συνόμιλος ἐφάνη ταῖς ἀρεταῖς, καὶ Γρηγόριος Πάτερ ὁ μέγιστος, ὃν ὁ Χριστός, ὧδε ἐθαυμάστωσε τοῖς πιστοῖς, ἐν πόλῳ τῷ ἁγίῳ δέ, δέδωκε βραβεῖα τὰ ἀσινῆ,

καὶ ἔχει μελωδοῦντα, σὺν σοὶ Νικήτα μέλος, τὸ τῶν Ἀγγέλων Ἀλληλούϊα.

Ὢπ τετταροχριστόφωτε λαμπηδών, ὢ Ὁσίων πατέρων ἀγλάϊσμα, λύχνοι φαιδροί, θεῖον ἐγκαλλώπισμα τῶν πιστῶν, ἱκέται ἀκαταίσχυντοι, πάντιμε Νικήτα σὺν Δανιήλ, Θεόδωρε λευῖτα, Γρηγόριε τρισμάκαρ, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύετε.

Θεοτοκίον

Ἀνύμφευτε Πανάμωμε Ἀγαθή, Θεοτόκε Κυρία Βασίλισσα, λόγοις φθαρτοῖς, οὔποτε δυνήσομαι ἐξειπεῖν, τὰ θεῖα μεγαλεῖά σου, καὶ τὴν μητρικήν σου συναρωγήν· ὡς ὄρνις γὰρ στρουθία, ὑπὸ τὰς πτέρυγάς σου, ἡμᾶς φυλάττεις Πολυώνυμε.

Ἐξαποστειλάριον.

Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Πύλας Χριστὸς ὑπήνοιξε, τῆς Αὐτοῦ Βασιλείας, σοὶ πάτερ καὶ εἰσήγαγεν, ὡς νικήσαντι πάθη, μετὰ σαρκὸς γὰρ ἀσκήσας, ὑπὲρ φύσιν τὸν νοῦν σου, εἰς οὐρανοὺς μετέστησας, ἔνθα νῦν ἐπαγάλλῃ, πλήρης φωτός, πλήρης παρρησίας θεῖε Νικήτα· ὑπὲρ ἡμῶν οὖν πρέσβευε, σὺν τριάδι Ὁσίων.

Θεοτοκίον. Ὅμοιον.

Σὲ ἀνυμνοῦσι Δέσποινα, οὐρανῶν αἱ δυνάμεις, σὲ προσκυνοῦσιν ἄνθρωποι, καὶ ἡ κτίσις δοξάζει, ὅτι γαστρί σου ἁγίᾳ, κόσμου Κτίστην ὡς βρέφος, ὄντως ἐκυοφόρησας, καὶ ἐθήλασας Κόρη, μητροπρεπῶς, τὸν ἀνακαινίσαντα πᾶσαν φύσιν, ἐκ τῆς φθορᾶς δι᾽ Αἵματος, καὶ θανάτου τιμίου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια
Ἦχος πλ. δ΄. Ὤ τοῦ παραδόξου θαύματος.

Πάτερ Νικήτα πανόσιε, ἐκ τῶν σπαργάνων Χριστός, τὴν ψυχήν σου ἠγάπησε, καὶ Αὐτῷ προσείλκυσε, προϊδὼν σου τὴν πρόθεσιν· ἐν τῷ λουτρῷ γάρ, θείου βαπτίσματος, περιστερά τις Πνεῦμα τὸ Ἅγιον, ἐξεικονίζουσα, ὑπερέπτη ἄνωθεν σῆς κεφαλῆς, προδηλοῦσα βίου σου τὴν καθαρότητα.

Πάτερ Νικήτα τρισόλβιε, πυρὶ ἀγάπης Θεοῦ, ὁλικῶς καταπέφλεξαι, καὶ ὡς μανικώτατος, τὰς ἐρήμους κατέλαβες, εὐχῇ συντόνῳ, παννύχοις στάσεσι, νοός τηρήσει, καύσει καρδίας τε, ὡς νύμφη Ἄσματος, κράζων πόθῳ ἔλεγες, ποῦ αἱ σκηναί, σοῦ Χριστὲ γλυκύτατε, κἀκεῖ ἐλεύσομαι.

Πάτερ Νικήτα μακάριε, φωτὸς ἀκτίστου πλησθείς, ποταμὸς θείας χάριτος, ὤφθης ὑποθήκαις σου, τοὺς πιστοὺς πρὸς ἀγάπησιν, Χριστοῦ ὡδήγεις, ἐν Ὧ ἡ ἄφεσις, ἁμαρτημάτων καὶ ἡ συγχώρησις, ἐν Ὧ τὸ πέλαγος, τῆς εἰρήνης πέφυκεν καὶ τῆς χαρᾶς, ὧν ἀξιωθείημεν, ταῖς ἱκεσίαις σου.

Πάτερ Νικήτα θεσπέσιε, θαυματουργίαις πολλαῖς, τὴν συνοῦσάν σοι δύναμιν, προσιοῦσι πάσχουσι τοῦ Χριστοῦ ἐφανέρωσας, ὅθεν ἀγγέλοις συναμιλλώμενος, μεσίτης ὤφθης χεῖρας ἐκτείνων σου, πρὸς τὸν Φιλάνθρωπον, ὑπὲρ πάντων Ὅσιε τῶν εὐλαβῶς, ἐπικαλουμένων σε, πρέσβυν εὐπρόσδεκτον.

Δόξα. Ἦχος ὁ αὐτός.

Τοῦ πρὸ αἰώνων ἐκ τῶν κόλπων τοῦ Πατρός ἐξελθόντος, ἵνα νικῶν νικήσῃ Νικητοῦ Ἰησοῦ, τὴν ἐπωνυμίαν προφητικῶς Ὅσιε λαβών, νίκην ἐνίκησας καὶ σὺ μεγίστην, τὴν Χάριν τοῦ Πνεύματος ἐπενδυθείς, ὡς πανοπλίαν θαυμαστῶς. Διὸ καὶ ὑπὲρ σκῦλα πολύτιμα ζωῆς, ἀφῆκας ἡμῖν τὰ κατορθώματα τῆς χριστοφώτου πολιτείας σου, ἐξ ἧς φωτιζόμενοι, πόθῳ δοξάζομεν Χριστόν, Νικήτα Θηβῶν τὸ καύχημα.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ τὰ λοιπὰ τοῦ Ὄρθρου.
Εἰς δὲ τὴν Θείαν Λειτουργίαν.
Εἰ βούλῃ, ψάλλε Τυπικὰ καὶ εἰς τοὺς Μακαρισμοὺς λέγε τὴν γ΄ καὶ στ΄ τοῦ κανόνος τῶν Ὁσίων.
Ἀποστολοευάγγελον· Ὁσιακὰ τῆς ε΄ Δεκεμβρίου.
Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάρια

Ἐκ παιδὸς ἐξέλαμψας ὡς φωστήρ, θείᾳ ἀγαπήσει, μέγα κλέος κλεινῶν Θηβῶν, πάντιμε Νικήτα, ὁσίων ἡ λαμπρότης, διό σε ὁ Δεσπότης, ὑπερετίμησεν.

Πόθῳ καταφεύγοντες πρὸς τὴν σήν, ὅσιε Νικήτα, μεσιτείαν ἱκετικῶς, κράζομεν ἁπάντων, αἰτήματα ἐκπλήρου, Θηβαίων, τὴν σὴν μνήμην, τελούντων σήμερον.

Χαίροις χριστοφόρητε τετρακτύς, ἁγίων πατέρων, ὁ Νικήτας καὶ Δανιήλ, ἅμα Θεοδώρῳ Γρηγόριε οἱ Θήβας, φωτίζοντες ἀκτῖσι, τῆς θείας χάριτος.

**Στίχοι**

Νικᾶν τὴν νίκην ἁπασῶν τὴν ἀρίστην
δίδου, Νικήτα, τοῖς τιμῶσί σε πόθῳ.

www.tezaurliturgic.ro

* * *

Συνετέθη ἡ παροῦσα ἀκολουθία τῇ φιλοσίῳ αἰτήσει τοῦ Ὀρθοδόξου Σωματείου Θηβῶν "Χρυσόστομος Σταμούλης" ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω τῇ 12. 5. 1995.